Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXXV. Epistola Constantini ad Eusebium, in qua orationem de Pascha laudat.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ.

Κωνσταντίνου πρὸς Εὐσέβιον, τὸν τοῦ Πάσχα λόγον ἐπαινοῦντος.

Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς, Εὐσεβίῳ.

ΤΟ μὲν ἐγχείρημα μέγιστον καὶ πάσης λόγων δυνάμεως κρεῖττον, Χριστοῦ μυστήρια κατ' ἀξίαν εἰπεῖν, τήν τε τοῦ Πάσχα ἀντιλογίαν τε καὶ γένεσιν, λυσιτελῆ τε καὶ ἐπίπονον τελεσιουργίαν, ἑρμηνεῦσαι τὸν προσήκοντα τρόπον· τὸ γὰρ θεῖον, ἀνθρώποις ἀδύνατον κατ' ἀξίαν B φράσαι, καὶ τοῖς νοῆσαι δυνατοῖς. πλὴν ὅμως ὑπερθαυμάσας σε τῆς φιλομαθείας τε καὶ φιλοτιμίας, αὐτός τε τὸ βιβλίον ἀνέγνων ἀσμένως, καὶ τοῖς πλείοσιν οἵ γε τῇ περὶ τὸ θεῖον λατρείᾳ γνησίως προσανέχουσι, καθὰ ἐβουλήθης ἐκδοθῆναι προστέταχα. συνορῶν τοίνυν μεθ' ὅσης θυμηδίας τὰ τοιαῦτα παρὰ τῆς σῆς ἀγχινοίας δῶρα λαμβάνομεν, συνεχεστέροις ἡμᾶς λόγοις εὐφραίνειν, οἷς ἀνατετράφθαι σαυτὸν ὁμολογεῖς, προθυμήθητι. θέοντα γάρ σε τοῦ λόγου πρὸς τὰ συνήθη σπουδάσματα παρορμῶμεν· ὅπου γε καὶ τὸν εἰς τὴν Ῥωμαίων C τοὺς σοὺς πόνους μεταρυθμίζοντα γλῶτταν, οὐκ ἀνάξιον εὑρῆσθαί σοι τῶν συγγραμμάτων, ἡ τοσαύτη πεποίθησις δείκνυσιν. εἰ καὶ τὰ μάλιστα τῶν καλῶν ἔργων ἡ τοιαύτη ἑρμηνεία ὑφίστασθαι κατ' ἀξίαν, ἀδυνάτως ἔχει. ὁ Θεός σε διαφυλάξοι ἀδελφὲ ἀγαπητέ. τὸ μὲν (οὖν) περὶ τοῦδε γράμμα, τοιόνδε ἦν· τὸ δὲ περὶ τῆς τῶν θείων ἀναγνωσμάτων ἐπισκευῆς, ὧδέ πη περιέχει.

Caput XXXV.

Epiſtola Conſtantini ad Euſebium, in qua orationem ejus de Paſcha laudat.

Victor Conſtantinus Maximus Auguſtus, Euſebio.

ARduum opus profectò eſt, & quod omnem dicendi vim ſuperet, Chriſti myſteria pro dignitate explicare, & controverſiam de Paſcha, ejuſq; originem, & plenam laboris atque utilitatis conſummationem decenter exponere. Nam res divinas ne ipſi quidem pro merito enarrare ſufficiunt, qui eas cogitatione aſſequi valent. Verumtamen eximiam tuam doctrinam & ſtudii contentionem equidem ſupra modum admiratus ſum; legique librum tuum perlibenter; utque in multorum qui divinæ religionis obſervantiam ſincerè profitentur, manus ac notitiam perveniret, quemadmodum optaveras, mandavi. Cùm igitur intelligas, quantâ cum voluptate hujuſmodi munera à ſolertia tua nobis oblata ſuſcipimus, cura ut frequentioribus poſthac ſermonibus, quibus te innutritum eſſe profiteris, animum noſtrum exhilares. Te verò currentem quod ajunt, ad conſueta ſtudia incitamus. Quippe cùm non indignum operum tuorum interpretem qui ea in Latinum ſermonem transferat, nactum te eſſe, tanta hæc fiducia ſatis oſtendat. Quamquam ejuſmodi interpretatio, tam præclarorum operum dignitatem conſequi nullo modo poteſt. Divinitas te ſervet frater cariſſime. Et hæc quidem hac de re ejus fuit epiſtola. De parandis autem divinis Codicibus ad Eccleſiaſticas lectiones, ejuſmodi literæ fuerunt.

D

ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Κωνσταντίνου πρὸς Εὐσέβιον περὶ κατασκευῆς θείων βιβλίων.

Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς, Εὐσεβίῳ.

ΚΑτὰ τὴν ἐπώνυμον ἡμῖν πόλιν, τῆς τοῦ Σωτῆρος Θεοῦ συναιρομένης προνοίας, μέγιστον πλῆθος ἀνθρώπων τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἀνατέθεικεν ἑαυτὸ, ὡς πάντων ἐκεῖσε πολλὴν λαμβανόντων αὔξησιν, σφόδρα ἄξιον καταφαίνεσθαι, καὶ ἐκκλησίας ἐν αὐτῇ κατασκευασθῆναι πλείους. τοιγάρ τοι δέδεξο προθυμότατα τὸ δόξαν τῇ ἡμετέρᾳ προαιρέσει. πρέπον

Caput XXXVI.

Conſtantini ad Euſebium Epiſtola de conficiendis ſacris Codicibus.

Victor Conſtantinus Maximus Auguſtus, Euſebio.

IN ea urbe quæ à nobis nomen ſortita eſt, divinâ Servatoris noſtri adjuvante providentiâ, maxima hominum multitudo ad ſanctiſſimam Eccleſiam ſeſe adjunxit. Itaq; cùm cuncta illic maximum incrementum capiant, conſentaneum inprimis videtur, ut plures quoq; in ea conſtruantur Eccleſiæ. Accipe igitur libenti animo id quod facere decrevi. Viſum eſt enim id ſignificare pru-